Ετεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.
Δι. Ἴδιοί τινές σοι, κόμμα καινόν; Ευ. καὶ μάλα.
Δι. Ἴθι νῦν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
Ευ. Αἰθὴρ ἐμὸν βόσκημα, καὶ γλώσσης στρόφιγξ,
Καὶ ξύνεσις, καὶ μυκτῆρες ὀσφραντήριοι,
Ορθῶς μ᾽ ἐλέγχειν, ὧν ἂν ἅπτωμαι λόγων.

Σχόλια. Ετεροι γάρ εἰσιν οἷσιν εὔχομαι.] ἅτε δὴ Σωκρατικῶς ὢν, καινὰ δαιμόνια ἔπλασεν. Τοῖσιν ἰδιώταις θεοῖς.] τινὲς ἐν τῷ θεοῖς δύο τιθέασιν. ἵνα ἐν ᾖ τὸ ἴδιοί τινές σοι κόμμα καινόν. Αἰθὴρ ἐμὸν βόσκημα.] καὶ Σωκράτης ἐν Νεφέλαις. μὰ τὴν ἀναπνοήν. μὰ τὸ χάος. μὰ τὸν

A *Quoniam diuersi sunt, quos ego veneror, Dei.*
*BA. An proprij tibi sũt, & noua notæ? Ev. admo-*
*BA. Agè ergo precare peculiares hos Deos. (dũ*
*Ev. Æther meũ pabulũ, & hæc lingua volubilis,*
*Et tu solertia, naresque olfactorij,*
*Date, vt, quos aggredior, sermones arguam.*

B αἰθέρα. χαρακτηρίζει δὲ Εὐριπίδην εὐεπίφορον ὄντα ἐπὶ τὸν αἰθέρα ὀνομάζειν. στρόφιγξ δὲ, ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ πανουργεύεσθαι. μυκτῆρες δὲ ὀσφραντήριοι, ὡς συντελούντων τῶν μυκτήρων εἰς τὴν φωνήν.

## ΧΟΡΟΣ.

Bisetus Κορωνὶς, καὶ ἔκθεσις χοροῦ προῳδική

Χο. Καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
Παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι
Τινὰ λόγων ἐμμέλειαν,
Ἔπιτε δαΐαν ὁδόν.
Γλῶσσα μὲν γὰρ ἠγρίωται,
Λῆμα δ᾽ οὐκ ἄτολμον ἀμφοῖν,
Οὐδ᾽ ἀκίνητοι φρένες.
Προσδοκᾶν οὖν εἰκός ἐστι
Τὸν μὲν, ἀστεῖόν τι λέξειν,
Καὶ κατερρινημένον.
Τὸν δ᾽ ἀνασπῶντ᾽ αὐτοπρέμνοις
Τοῖς λόγοισιν ἐμπεσόντα
Συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.

Σχόλια. Καὶ μὴν ἡμεῖς.] κορωνὶς καὶ ἔκθεσις χοροῦ προῳδική. ὅτι προτίθεται τῆς διπλῆς ἐκ κώλων τεσσάρων ιδ. ὧν τὸ μὲν α β ε ς η θ ια ιβ ιδ. δίμετρα ἀκατάληκτα. τὰ δ᾽ ἄλλα ἑφθημιμερῆ πλὴν τοῦ τελευταίου μονομέτρου ἀκαταλήκτου ὄντος. ἐπὶ τῷ τέλει κορωνίς. Λόγων ἐμμέλειαν] ὅτι καταχρηστικῶς νῦν τὴν εὐρυθμίαν. κυρίως δὲ ἡ μετὰ μέλους ὄρχησις τραγική. οἱ δὲ, ἡ πρὸς τὰς ῥήσεις ὑπόρχησις. Δαΐαν ὁδόν.] ἀγωνιστικὴν. ἔμπειρον ἀπὸ τοῦ δαῆναι. ἐπὶ τούτοις δὲ δαΐαν ὁδὸν, ἔμπειρον. ἢ ἀντὶ τοῦ φιλόνεικον. Προσδοκᾶν οὖν.] ἔθος τοῖς ποιηταῖς προλέγειν ἃ εἰς τὸ ἑξῆς λέγειν μέλλουσι.

## CHORVS.

ἐκ κώλων ιδ.

CH. *Et nos sanè cupimus quandam, ex*
*Hominibus doctis loquendi*
*Capere concinnitatem,*
*Et aliquam scientiam:*
C *Lingua enim nostra est agrestis:*
*Sed vis mentis firma vtrique,*
*Nec ratio pigri ingenî.*
*Ergo fas, vt expectemus*
*Alterum festiua quædam*
*Perpolitáque: alterum*
*Magno hiatu proloquentem*
*Verba, ab imo corde tracta: &*
D *Spargentem ore,*
*Inuolucra verborum.*

κἀνταῦθα οὖν ἐστι τοῦτο ποιεῖ. Κατερρινημένον.] ἐξεσμένον. ῥίνη γὰρ, ἐργαλεῖον τεκτονικὸν, ᾧ ῥινοῦσιν. ἢ εὐτελές. ὅτι ἐξευτελίζομεν τὴν ῥινί.

Bisetus. Κατερρινημένον] χαριέστερον οὖν ἢ κατερρινημένον, παρὰ τὸ καταρρινᾶν, τὸ τῇ ῥίνῃ ξέειν, καὶ λιαίνειν. ἢ κατερρινισμένον, παρὰ τὸ καταρρινίζειν, τὸ τῇ ῥινὶ εὐτελίζειν, καὶ μυκτηρίζειν.

E Σχόλια. Αὐτοπρέμνοις.] δυσκόλοις. προρρίζοις. ἢ μεγάλοις. Αλινδήθρας.] συναγωγάς. στροφάς. λεπτολογίας. πλοκὰς τοῦ Εὐριπίδου.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ πρώτη.

ΔΙΟΝΥΣΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΑΙΣΧΥΛΟΣ.

Δι. Αλλ᾽ ὡς τάχιστα χρὴ λέγειν, οὕτω δ᾽, ὅπως ἐρεῖτον
Ἀστεῖα, καὶ μήτ᾽ εἰκόνας, μήθ᾽ οἷ᾽ ἂν ἄλλος εἴποι.
Ευ. Καὶ μὴν ἐμαυτὸν μὲν γε τὴν ποίησιν οἷός εἰμι,
Εν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ᾽ ἐξελέγξω,
Ως ἦν ἀλαζὼν καὶ φέναξ οἵοις τε τοὺς θεατὰς
Ἐξηπάτα, μώρους λαβὼν παρὰ Φρυνίχῳ τραφέντας,
Πρώτιστα μὲν γὰρ ἕνα γ᾽ ἕνα τινὰ κάθισεν ἐγκαλύψας,
Ἀχιλλέα τιν᾽, ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς

Σχολ. Αλλ᾽ ὡς τάχιστα.] ἔκθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν ἱππωνακτείων τετραμέτρων καταληκτικῶν ξς. ὧν τελευταῖος πέπτωκεν ἔξω τοῦ κακῶν οὐ Χῖος ἀλλὰ Κῷος. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Παρὰ Φρυνίχῳ τραφέντας.] ἀπατῶν γὰρ, ὡς ἀφελέστερος ὁ Φρύνι-

## ACTVS IIII. SCENA I.

Bacchvs, Evripides, Æschylvs.

BA. *At nũc celeriter oportet dicere: & ita vt proferatis*
F *Festiua, non figuras, neque dicta ab alijs Poëtis.*
*EV. De me quidẽ qualis Poëta sim, quámque eruditus,*
*Dicã postremò: nũc autẽ primo loco hunc reprehẽdam:*
*(& quot*
*Vt sciatis quàm sit arrogãs, quantúsque impostor:*
*Modis spectatores fefellerit: in scenam theatri*
*Productis fatuis: quos nescio quis Phrynichus educarat.*
G *Ac initiò vnũ quẽpiã cõstituit inuolutũ, (lãs:*
*Achillẽ quẽdã, aut Nioben: faciẽ neutiquã reue-*

χος. νῦν δὲ Φρύνιχον λέγουσι τὸν τραγῳδίας ποιητήν. τὸν δὲ ἐπαινοῦσι εἰς τὴν μελοποιίαν. νυνὶ δὲ ὡς ἀφελοῦς ὄντος αὐτοῦ μνημονεύει ὁ Ἀριστοφάνης. ἦν δὲ πρὸ Αἰσχύλου. Εγκαλύψας.] ὡς αὐτοῦ εἰσφέροντος ἐν δράμασι τινὰ κεκαλυμμένον. ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ ἐκ ἀποκεκρυμμένος,

παρ